# ΤΟ ΠΑΡΟΝ
# ΜΑΡΤΥΡΙΟΝ
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ
# ΓΕΩΡΓΙΟΥ
## ΤΟΥ ΤΡΟΠΑΙΟΦΟΡΟΥ

ΣΩΖΕΤΑΙ ΑΝΑΠΟΣΠΑΣΤΟΝ ΕΝ Τῌ ΙΕΡᾼ ΒΑΣΙΛΙΚῌ
ΚΑΙ ΠΑΤΡΙΑΡΧΙΚῌ ΚΟΙΝΟΒΙΑΚῌ ΜΟΝῌ
ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ ΤΟΥ ΕΝ Τῼ ΑΘῼ.

Ἀντεγράφη ἐξ ἀρχαιοτάτης ἀπαραλλάκτως
Πρωτοτύπου μεμβράνης.
Σώζεται ἐν τῷ Κουτλουμουσιανῷ κελλίῳ
τῶν Εἰσοδείων ἄνωθεν τῶν Καρυῶν.
Τῇ 30 Σεπτεμβρίου 1871
Καρέαις

ΝΥΝ ΕΚΔΙΔΕΤΑΙ ΠΑΡΑ ΤΟΥ ΕΛΑΧΙΣΤΟΥ
**ΚΟΣΜΑ ΜΟΝΑΧΟΥ**
Ἐκ τῆς Νέας Σκήτης Ἁγίου Παύλου,
ἐκ τῆς Καλύβης τοῦ Ἁγίου Γεωργίου.

**ΕΝ ΕΡΜΟΥΠΟΛΕΙ**
ΤΥΠΟΙΣ ΡΕΝΙΕΡΗ ΠΡΙΝΤΕΖΗ

1880.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑΣΤΡΑΤΟΥ

ΓΕΩΡΓΙΩι

ΤΩι ΥΨΗΛΟΤΑΤΩι Μ. ΔΟΥΚΙ

ΔΕΥΤΕΡΟΤΟΚΩι ΥΙΩι

ΤΗΣ ΑΥΤΟΥ ΜΕΓΑΛΕΙΟΤΗΤΟΣ

ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΤΩΝ ΕΛΛΗΝΩΝ

**ΓΕΩΡΓΙΟΥ ΤΟΥ Α'.**

ΑΝΑΤΙΘΗΜΙ

ΤΟ ΕΝΔΟΞΟΝ ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ

**ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ**

ΤΟΥ

ΤΡΟΠΑΙΟΦΟΡΟΥ

ΜΗΝΙ ΑΠΡΙΛΙΩ ΚΓ'.

# ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ

## ΓΕΩΡΓΙΟΥ

Ἀντιγραφὲν ἐξ ἀρχαιοτάτης μεμβράνης παρὰ Σωφρονίου πρώην καθηγουμένου τοῦ Ἱεροῦ Κοινοβίου τοῦ Ἁγίου Παύλου ἐκ τοῦ Πρωτοτύπου.

Εὐλόγησον Πάτερ.

Διοκλητιανοῦ τοῦ τυράννου τῶν τῆς Ῥώμης σκήπτρων ἐπειλημμένου, καὶ τῆς Νικομηδείας Μαξιμιανοῦ βασιλεύοντος, Ναρσαῖος ἐκεῖνος ὁ τῶν Περσῶν βασιλεὺς συνεχῶς τοῖς τῆς Νικομηδείας ὁρίοις ἐπιστρατεύων, καὶ τήν τε Παλαιστίνην καὶ Ἀρμενίαν βαρείᾳ χειρὶ ληϊζόμενος, καὶ τὴν Καπαδοκίαν ἰσχυρῶς κατατρέχων, αὖθις σοβαρῶς τῷ φρονήματι πρὸς τὴν οἰκείαν ἐπανήει πατρίδα, ἀριστεὺς γενναῖος καὶ τροπαιοῦχος ἀήττητος κηρυττόμενος.

Ἅπαξ οὖν καὶ δὶς συρραγεὶς αὐτῷ Μαξιμιανὸς, καὶ μηδὲν πλέον δυνηθεὶς ἐξανύσαι ἢ μόνον τὸ κατὰ κράτος ὑπ' αὐτοῦ νικηθῆναι, καὶ σὺν οὐδενὶ κόσμῳ τῆς μά-

χης ἀπαλλαγῆναι ἀμηχανίᾳ δεινῇ συσχεθείς, καὶ ἀπορῶν τί δράσειε, διέγνω κηδεστὴν ἑαυτοῦ ἀξιῶσαι τὸν Διοκλητιανὸν, ὥστε Ῥωμαϊκὴν αὐτῷ δύναμιν εἰς ἐπικουρίαν ἐξαποστεῖλαι. Εὐθὺς οὖν γράμματα τούτου κατὰ τὴν Ῥώμην ἐφοίτα, τὸν τοῦ βασιλέως συνασπισμὸν ἐξαιτούμενος· ὃς τοῦτο μὲν θεραπεύων τὸν Μαξιμιανὸν, τοῦτο δὲ τῷ τῶν Ῥωμαίων κράτει ἐναβρυνόμενος, ὅτι πλεῖστον καὶ ῥωμαλαῖον ἀθροίσας ὁπλιτικὸν, τῆς Ῥώμης ἀπαναστὰς, τὴν Νικομηδέων καταλαμβάνει, συνεπαγόμενος καὶ τὴν ἑαυτοῦ σύζυγον, Ἀλεξάνδρα τῇ γυναικὶ ὄνομα, ὡς ἂν ἀμφότεροι τὴν ἑαυτῶν θυγατέρα θεάσωνται γαμετὴν ὑπάρχουσαν Μαξιμιανοῦ. Συνείποντο δὲ αὐτῇ καὶ οἱ τούτου ἀδελφοὶ Μαγνέντιος, Θεόγνητος, καὶ Δαδιανὸς τοπάρχαι τυγχάνοντες· ὁ μὲν Λιβύης, ὁ δὲ Αἰγύπτου καὶ Συρίας ὁ Δαδιανός. Τούτοις τοίνυν καὶ τοῖς ἑαυτοῦ στρατεύμασι Μαξιμιανὸν ὀχυρώσας, ἐκπέμπει κατὰ Νασαίου, ὃς τῇ τῶν Περσῶν ἀθρόως προσβαλὼν χώρᾳ, πᾶσαν μὲν αὐτὴν πορθεῖται καὶ καταστρέφεται· ἐγκρατὴς δὲ Ναρσαίου γενόμενος, καὶ τοὺς περὶ αὐτῶν ἅπαντας χειρωσάμενος ἐν δυσὶ πόλεσι, μετὰ πολλῆς ὅσης πρὸς Διοκλητια



νὸν ἐπάνεισι θυμιδίας. Ἐκεῖσε γὰρ σὺν πλήθει παρῆν στρατιᾶς, συμμαχουσῶν τῶν πόλεων Μαξιμιανῷ, ἦγε δρασμὸν ἐκεῖνος, καθυπομένων, νῶτα τοῖς ἐχθροῖς δεδωκώς. Δεξάμενος οὖν αὐτὸν μετὰ περιχαρίας ὁ τῶν δαιμόνων θεραπευτὴς, τῆς Παλαιστίνης ἀπαναστὰς σὺν αὐτῷ, πρὸς τὴν Νικομηδείαν ἐπάνεισι· καὶ τῇ τῶν ψευδωνύμων θεῶν ἐπικουρίᾳ τὰ τοιαῦτα τρόπαια ἐπιγράψας· θυσίαις μὲν πλείστων ζώων καὶ δημοτελέσι πανηγύρεσιν ἀμοίβεσθαι τούτους διηγωνίζετο· φιλοτιμότερον καὶ πέραν τοῦ μέτρου θεραπεύειν πειρώμενος. Ἐπεί περ ἦν ἤδη περὶ τῆς ἀμωμήτου πίστεως ἀκηκοὼς τῶν χριστιανῶν, πληγεὶς βασκανίας κέντρῳ, καὶ τοὺς ὁμοτρόπους αὐτοῦ, Μαξιμιανὸν λέγω, καὶ οὓς ἤδη φθάσας ὁ λόγος ἐδήλωσε, μετακαλεσάμενος, ἐσκόπει σὺν αὐτοῖς ὅπως ἂν ἡ μὲν τῶν χριστιανῶν ἐκ ποδῶν γένηται λατρεία, ὑποκύψωσι δὲ πάντες σέβεσθαι, καὶ τιμὰς προσφέρειν τοῖς ἀψύχοις εἰδώλοις. Ἦν γὰρ μάλιστα τῇ ψυχοφθόρῳ τοῦ Ἀπόλλωνος ἀπάτῃ προστετηκὼς, ὁ τῆς ἀπωλείας οὗτος υἱὸς, καὶ τῶν τιμωμένων ξοάνων ἀναισθητότερος· ἐπὶ κακῷ γ' οὖν τὴν συμφωνίαν ὡς εἴρηται ποιησάμενος, καὶ σκεψάμενος, ἅμα γράφουσιν, ἐκ προσώπου

αὐτοῦ τῆς ἀσεβείας προστάτου κατὰ πᾶσαν χώραν τε καὶ ἐπαρχίαν, ἄρχουσί τε καὶ σατράπαις, καὶ πᾶσι τοῖς ἐν ὑπεροχῇ οὖσιν, ἐπιστολὰς ὧδέ πως περιεχούσας·

«Διοκλητιανὸς μέγιστος ἀεὶ σεβαστὸς
» αἰώνιος Βασιλεὺς τοῖς κατὰ πᾶσαν χώ-
» ραν τε καὶ ἐπαρχίαν τῆς τῶν Ῥωμαίων
» ἀρχῆς, στρατηγοῖς τε καὶ ἡγεμόσι, καὶ
» τοῖς κατ' ἐξοχὴν ἅπασι χαίρειν. Ἐπειδὴ
» περ φέρει τις περὶ τὰς ἡμετέρας ἐλήλυθεν
» ἀκοὰς οὐ μετρίως ἐπιταράττουσα τὸ θει-
» ότατον κράτος ἡμῶν, ὡς ἀσεβεστάτως
» τινὸς αἱρέσεως εἰσφθαρείσης τῶν λεγο-
» μένων χριστιανῶν, σεβομένων μὲν καὶ διὰ
» πάσης ἀγόντων τιμῆς Ἰησοῦν τινα λεγό-
» μενον, ὃν ἔτεκε Μαρία τις Ἰουδαία γυνή,
» τὸν καὶ ὑπὸ Ἰουδαίων ὡς κακοῦργον κα-
» τακριθέντα καὶ σταυρωθέντα. Ἀπόλλωνα
» δὲ τὸν μέγαν Θεόν, Ἑρμῆν τε καὶ Διό-
» νυσον, Ἡρακλῆν τε καὶ Δία, δι' ὧν εἰ-
» ρήνη τῇ ἡμετέρᾳ δεδώρηται πολιτείᾳ,
» καὶ βλασφημούντων μυρία ὅσα αὐτοῖς
» πάντῃ ἀναισχύντως ἀποσκοπτόντων.
» Τούτου χάριν θεσπίζομεν, ὥστε τοὺς εὑ-
» ρισκομένους χριστιανοὺς πανταχοῦ ἄν-
» δράς τε καὶ γυναῖκας τιμωρίαις ὑποβάλ-
» λεσθαι πικροτάταις πρὸς τὸ ἀρνεῖσθαι



» μὲν αὐτοὺς τὴν οἰκείαν θρησκείαν, λα-
» τρεύειν δὲ τοῖς μεγίστοις Θεοῖς, καὶ εἰ
» μὲν πείθοιντο, συγγνώμης τε αὐτοὺς ἀ-
» ξιοῦσθαι καὶ δωρεῶν φιλοτίμων μετα-
» λαμβάνειν· εἰ δὲ μὴ βούλοιντο, τῆς πρε-
» πούσης αὐτοῖς ἀποστῆναι μανίας, καὶ
» μετὰ πολλὰς βασάνους καὶ τιμωρίας
» τῷ διὰ ξίφους θανάτῳ ὑπάγεσθαι. Εἰ-
» δότες τοίνυν ὡς εἴ περ τῶν ἡμετέρων κε-
» λεύσεων κατολιγορήσετε, τὰς αὐτὰς
» κολάσεις ὑφέξετε· θέσθαι διὰ πάσης
» σπουδῆς τὰ προστεταγμένα εἰσαγαγεῖν.

Τῶν τοιούτων οὖν γραμμάτων κατὰ πᾶσαν πόλιν τε καὶ χώραν προτιθεμένων, καὶ διωγμοῦ φρικώδους κατὰ τῆς τοῦ Χριστοῦ ποίμνης σφοδρῶς ἀναρριπισθέντος, καὶ παντοίων τε βασανιστηρίων ὀργάνων κατὰ τῶν εὐσεβῶν ἐπινοουμένων, καὶ πολλὰ δι' ἔχθραν καὶ μῖσος κακούργως τοὺς πιστοὺς θηρευόντων, καὶ τοῖς παρανόμοις ἄρχουσιν εἰς θάνατον προδιδόντων, καὶ τινῶν μὲν σιδήρῳ καὶ πυρὶ καὶ παντοίαις ἰδέαις βασάνων μέχρι τέλους νεανικῶς ἀντιτασσομένων, τινῶν δὲ περὶ τὰ μέσα που τῶν ἀγώνων πρὸς τοὺς αἰκισμοὺς ἀπαγορευόντων, καὶ τῆς ἀμωμήτου πίστεως ἀγενῶς ἀπορρηγνυμένων, ὁ παμφαὴς φωστὴρ κα-

θάπερ ἐν ζοφώδει νυκτὶ ἐξέλαμψεν ὡς πυρσὸς διαυγέστατος, ὁ τῆς μακαρίας Τριάδος διαπρύσιος κῆρυξ Γεώργιος, καὶ τῶν Χριστοῦ παθημάτων ἀκριβέστατος μιμητής· τῆς μὲν ἀθέας τῶν εἰδώλων ἀπάτης τὴν πολυτάραχον ἐξελάσων ἀχλὴν, καὶ ἀνακηρύξων τὴν σωτήριον πίστιν οὐ λόγοις μόνον, ἀλλ' ἱδρῶσι καὶ ἀγωνίσμασι.

Τούτῳ τοίνυν τῷ θαυμασίῳ πατρὶς μὲν ἡ Καππαδοκῶν χώρα ὑπῆρχε, πατὴρ δὲ Γερόντιος ἐκεῖνος ὁ περιφανὴς καὶ περίβλεπτος, καὶ τῇ τοῦ στρατηλάτου ἀξίᾳ τετιμημένος· καὶ μήτηρ οὐκ ἀποδεοῦσα τοῦ συζύγου. Οὗτος περιουσίᾳ λαμπρὸς ὢν καὶ τὸν τρόπον θεοφιλὴς ἐν τῷ ἐπισήμῳ τῶν ἀνικήτων Νουμέρων, Τριβοῦνος πολλάκις πρότερον μεγαλοπρεπῶς διαπρέψας, τοῦ τῶν σχολῶν πρώτου τάγματος Κόμης κατ' ἐκλογὴν προεκλήθη. Μεγέθει γὰρ σώματος καὶ ἡλικίας ἀκμῇ καὶ δυνάμεως διέπρεπε· δύο πρὸς τοῖς εἴκοσι τυγχάνων ἐτῶν.

Ἐπεὶ οὖν ὁ σκολιὸς ἐκεῖνος Διοκλητιανὸς οἰστρηλατούμενος ἔτι μᾶλλον, καὶ ζέων τῷ θυμῷ κατὰ τῶν χριστιανῶν ἠρεθίζετο· ἐνσκήψαντος τοῦ φθόνου αὐτῷ σφοδρότερον, καὶ τὴν θεομάχον αὐτοῦ ψυχὴν κατεμπι-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



πρῶντος. Προσκαλεσάμενος καὶ αὖθις τήν τε Σύγκλητον καὶ πάντας τοὺς ἐν ὑπεροχῇ ὄντας σὺν τοῖς στρατεύμασι, συμβούλιον ἐποιεῖτο πάσχων, ὅπως ἂν παντάπασι τῆς ἑαυτοῦ βασιλείας τὸ τῶν χριστιανῶν ἐξολοθρεύσει γένος. Πάντων οὖν τῶν συγκαθημένων καὶ παρεστηκότων τῷ Βασιλεῖ ἐμφόβων ὄντων, καὶ τὸν παριστάμενον αὐτῷ ἑτοίμως πράττειν ἂν ὁμολογουμένων· αὐτὸς δὲ μέγα τι καὶ ἀλαζονικὸν ἐπαρθεὶς, ἐδημηγόρησε λέγων· «ἐμοὶ δοκεῖ προσφιλέστατοι μηδὲν εἶναι τιμιώτερον τῆς εἰς τοὺς ἀθανάτους Θεοὺς ἡμῶν εὐσεβείας, ἐπειδὴ βασιλεία τοῖς ἀνθρώποις καὶ σωτηρία δεδώρηται· δίκαιον τοίνυν ἡγοῦμαι, τούτους μὲν ταῖς ὀφειλομέναις θυσίαις καταγεραίρειν· τοὺς δὲ εὑρισκομένους χριστιανοὺς δειναῖς κολάσεσιν ὑποβαλεῖν, μέχρις ἂν ἀφανισμῷ τελείῳ παραδοθῇ ἡ τούτων δυσσεβεστάτη θρησκεία.

Πρὸς ταύτας συμφώνως ἅπαντες ἀπεκρίθησαν· «ἡμεῖς, ὦ μέγιστε καὶ ἀήττη
» τε βασιλεῦ, τὴν τῆς ὑμετέρας θειότητος
» διὰ παντὸς πρόνοια γενναίως ἀποδεχο-
» μενοι, τοὺς μεγίστους βουλόμεθα τιμᾶ-
» σθαι Θεοὺς παραπλησίως τῷ ὑμετέρῳ
» κράτει· εἰ δέ τις εὑρεθείη τοῦ λοιποῦ

» Χριστὸν ὀνομάζων, χαλεπωτάταις βα-
» σάνοις παραδιδόμενος, ἀναιρείσθω». Τού-
των οὕτω τυρευομένων ὑπὸ τοῦ μιαροῦ ἐ-
κείνου καὶ παρανόμου βουλευτηρίου, ὃ Κα-
ϊάφα τις συνέδριον προσειπών, ἢ ληστῶν
ἄθροισμα ἢ δαιμόνων σύλλογον οὐχ' ἁ-
μαρτήσεται τοῦ προσήκοντος· παρὼν τηνι-
καῦτα ὁ γενναῖος οὗτος στρατιώτης Γε-
ώργιος ἐν τῷ στρατοπέδῳ παρὰ τῷ βασι-
λεῖ Μαξιμιανῷ, ἅτε μέλλων παρ' αὐτοῦ
κατὰ τὴν τούτου πρὸς αὐτὸν ὑπόσχεσιν
εἰς τὸ τοῦ στρατηλάτου προβληθῆναι ἀ-
ξίωμα, καὶ τὴν μὲν παρὰ τῶν βασιλέων
κατά τε τοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ ποί-
μνης μελετωμένην σκευωρίαν καταμαθών,
θεασάμενος δὲ καὶ τὴν πολυειδῆ τῶν βα-
σανιστηρίων ὀργάνων κατασκευήν, ἃ πρὸς
κατάπληξιν τῶν ὁρώντων ἐν τοῖς τῶν βα-
σιλέων προθύροις ἐφήπλωτος, καὶ βραχύ τι
μὲν ὡς εἰ ἐπὶ τούτοις θαυμάσας, ἀνδρείῳ
δὲ τῷ φρονήματι ταῦτα παρὰ φαῦλον θέ-
μενος, διελογίζετο λέγων πρὸς ἑαυτόν.

Γεώργιε, τί ἕστηκας ἀργός, τοῦ κυρίου καλοῦντος τοὺς βουλομένους εἰς τὸν ἴδιον γάμον; Ἀνέωγεν ὁ νυμφών, τὸ δεῖπνον ἡτοίμασται· τί βραδύνεις; εἴσελθε πρὶν ἢ κλεισθῆναι τὴν θύραν. Πάρεστι καὶ νῦν Ἰη-



σοῦς ὁ δι' ἡμᾶς σταυρὸν καὶ θάνατον ὑπομεῖναι, μὴ φοβηθῆτε, λέγων, ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, μνήσθητι, Γεώργιε, τῶν εὐαγγελικῶν διδαγμάτων, ἐν οἷς ὁ Δεσπότης φησίν, ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς· μὴ προκρίνῃς, Γεώργιε, τὴν πρόσκαιρον ταύτην καὶ παρερχομένην τοῦ βίου σκιάν, τῆς αἰωνίου ζωῆς, μηδὲ τὴν ματαίαν δόξαν τοῦ κόσμου, τῆς οὐρανίου ἐλπίδος, ὅτι πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου, καὶ πᾶσα βιωτικὴ περιφάνεια ὀνείρου παντὸς ἀδρανεστέρα καθέστηκεν· ὀλίγον ὑπόμεινον καὶ μετ' Ἀγγέλων εἰς αἰῶνα ἀγαλλιάσει. Ταῦτα πρὸς ἑαυτὸν συλλαλήσας μετρίως ἀπηχουμένῃ φωνῇ, καὶ ταύτῃ τῇ καλλίστῃ γνώμῃ στηρίξας τὸν λογισμόν, καὶ τὸν μὲν τοῦ Βασιλέως θυμὸν εἰς οὐδὲν λογισάμενος, τοῦ δὲ προκειμένου πλήθους τῶν κολαστηρίων καταφρονήσας, αὐτίκα τὴν ἅπασαν αὐτοῦ περιουσίαν πένησι διανείμας ἀθλητικῶς ἀπεδύσατο, καὶ στὰς ἐν μέσῳ τοῦ βήματος ὁ ἀληθὴς στρατιώτης τοῦ παμβασιλέως Χριστοῦ, εὐθαρσῶς καὶ ἀνδρείως οὐδὲν ὑποπτήξας τῶν φοβερῶν, ἐ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΔΩΡΗΤΡΙΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

λευθέρᾳ τῇ φωνῇ Δαυϊτικῶς ἐπαρρησιάσατο. Τίς ἡ πονηρὰ, λέγων, καὶ βέβηλος αὕτη συναγωγή; Τίς ὁ τρόπος τῆς τοσαύτης ἀνοίας καὶ ἀσεβείας; ὄντως τὸν τῆς Βασιλείας ἔννομον θρόνον λοιμῶν καθέδραν ἠργάσασθε, κατὰ Χριστοῦ τοιαῦτα μελετήσαντες· ἐματαιώθητε γὰρ ἐν τοῖς διαλογισμοῖς ὑμῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος ὑμῶν καρδία, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθητε. Αἰσχύνθητε οὖν, οἱ τὸν μὲν υἱὸν τοῦ Θεοῦ τῶν πάντων δημιουργὸν καὶ Δεσπότην φρενοβλαβῶς ἀθετοῦντες, δαίμονας δὲ τοὺς ἀκαθάρτους θεοποιούμενοι, καὶ εἴδωλα τούτων πνοῆς ἔρημα κωφὰ διὰ τιμῆς ἄγειν αἱρούμενοι, εἴ τε οὖν ἐμοὶ πείθεσθε τὸ σκότος ἀφέντες προσέλθετε τῷ θείῳ φωτὶ, καὶ τῆς πλάνης ἀποστάντες, τῇ ἀληθείᾳ προσδράμετε, ἥτις ἐστὶν ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἐπίγνωσις, δι' ἧς ζωῆς μακαρίας δόξης καὶ μὴ ληγούσης, ἀξιωθήσεσθε· ἡ γὰρ δόξα ὑμῶν αὕτη σαθρὰ καὶ ματαία καὶ χλόῃ παραπλησίως μαραινομένη, οὐκ ἀνέχομαι θεότητος ὑβριζομένης ἐφησυχάζειν ὁρᾷν. Βέλτιόν μοι εἰς μέρη καὶ μέλη κατατμηθῆναι, καὶ μυρίοις θανάτοις παραδοθῆναι ἢ τοιούτων βλασφημιῶν κατὰ τοῦ τῶν ὅλων Δεσπότου τολ-



μωμένων ἀνέχεσθαι. Τούτων ἡδέως ἅμα καὶ γενναίως ὑπαγορευθέντων τῷ Μάρτυρι, ἀτενίσας αὐτῷ Μαγνέντιος ἔφη· Τίς ἄρ' εἶ σύ; καὶ τί σου τὸ ὄνομα; καὶ πῶς ἐπὶ τοσοῦτον προήχθης θρασύτητος, ὥς τε μετὰ τοσαύτης τολμης καὶ τῷ φοβερῷ τούτῳ βήματι σαυτὸν ἐπιδοῦναι; Ὁ Ἅγιος Γεώργιος εἶπεν· Ἐμοὶ τὸ μὲν πρῶτον καὶ τιμιώτατον ὄνομα Χριστιανός εἰμι, τὸ δὲ ἐν ἀνθρώποις Γεώργιος λέγομαι, οὕτως εὐδοκήσαντος τοῦ Θεοῦ μου· δεῖ γάρ με καρποφορῆσαι τῷ ἐμῷ οὐρανίῳ Δεσπότῃ πολυπλασίονα καρπὸν εὐσεβείας.

Ἐμβλέψας δὲ αὐτῷ Διοκλητιανὸς ὁ βύθιος δράκων λέγει· Γεώργιε, μανθάνομεν περὶ σοῦ, ὅτι ἐν φρονήσει καὶ ἀνδρείᾳ εὐδοκιμῶν ἀεὶ, καὶ τιμῶν ἠξιώθης ἐκ τῆς βασιλικῆς ἡμῶν προνοίας· πρόσελθε οὖν καὶ θῦσον τοῖς Θεοῖς ἡμῶν, ἵνα μὴ κακῶς ἀποθάνῃς, ἀλλὰ μᾶλλον τῆς ἡμετέρας φιλανθρωπίας ἀπολαύσῃς τιμῆς τε καὶ πλούτου περισσοτέρου τύχῃς διὰ τῆς ἡμετέρας προνοίας καὶ τῆς πρὸς ἡμᾶς παρρησίας. Αὕτη γάρ σου ἡ ματαία παρρησία οὐκ ὠφελήσει σε· ἀποκριθεὶς ὁ Ἅγιος Γεώργιος εἶπεν· Εἴθε, Βασιλεῦ, ἀνασχόμενος σὺ ἐπέγνως τὸν μόνον ἀληθινὸν Θεὸν, ἵνα καὶ Οὐρανίου

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

βασιλείας ἀξιωθῇς. Αὕτη γάρ σου ἡ ἐξουσία πρόσκαιρός ἐστι καὶ αἱ ἐπαγγελίαι σου, καὶ αἱ κολακεῖαι, οὐκ ἂν τὸ σταθερὸν τῆς πρὸς Θεόν μου εὐσεβείας παρασαλεύσειεν· αἱ οὖν τιμαί σου σὺν σοὶ ἔσονται καὶ αἱ ἐπαγγελίαι σου τοῖς πειθομένοις σοι· ἐγὼ γὰρ Χριστὸν ἔχω τὸν ἐπουράνιον Βασιλέα παρέχοντά μοι δοξαν καὶ νίκην κατὰ τοῦ Σατανᾶ καὶ τῶν ὑπηρετούντων αὐτοῦ. Θυμωθεὶς δὲ ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν ἀναρτηθέντα κόνταξι κρουσθῆναι πρὸς τὰ σπλάγχνα αὐτοῦ καὶ χαμαὶ ῥιφθῆναι. Τούτου δὲ γενομένου, τὸ μὲν σῶμα αὐτοῦ τῷ αἵματι περιερράνθη, ὁ δὲ κόνταξ μολύβδου δίκην ἀπεστράφη εἰς τὰ ὀπίσω. Τότε εἶπεν ὁ ἅγιος Γεώργιος· εὐχαριστῶ σοι Χριστέ, ὅτι τοῦ ὑπηρέτου τοῦ διαβόλου ἐπέστρεψας τὴν ῥομφαίαν εἰς τέλος, καὶ τὸ καθ' ἡμῶν φρύαγμα τοῦ τυράννου καθεῖλες. Ὀργῆς δὲ πλησθεὶς ὁ Διοκλητιανός, ἐκέλευσεν αὐτὸν κατανεχθέντα ἀπὸ τοῦ ξύλου, ἀπενεχθῆναι ἐν τῇ φυλακῇ, καὶ ταθῆναι τοὺς ποδας αὐτοῦ ἐν τῷ ξύλῳ δεινῶς, καὶ τεθῆναι κατὰ τοῦ στήθους αὐτοῦ λίθον μέγαν· ἐπιτεθέντος δὲ τοῦ λίθου κατ' αὐτοῦ ὑπὸ τεσσάρων μόλις βασταχθέντων, φωνῇ μεγάλῃ εἶπεν ὁ Ἅ-



γιος· εὐχαριστῶ σοι, ὕψιστε Θεέ, ὅτι κατεξιώθην βάρος ἐπιτεθῆναι τῇ καρδίᾳ μου· Τοῦτο ὤφειλον στηρίξαι ἐν ἐμαυτῷ τὸ ἀμετάθετον τῆς εἰς σὲ ὁμολογίας.

Τῇ δὲ ἐπαύριον ὑποβάλλει ὁ Σατανᾶς τῷ Διοκλητιανῷ καὶ τοῖς σὺν αὐτῷ καὶ ἐκέλευσε τροχὸν γενέσθαι παμμεγεθη κατασκευασθέντα ἐφευρέσεσι παντοίαις· ἐγένετο δὲ ὁ τροχὸς ὡσεὶ τεκτονικὸν πιεστήριον, καὶ ἐκέλευσεν ὁ παράνομος τύραννος τὸν Ἅγιον ἀνενεχθῆναι εἰς αὐτόν. Ὡς δὲ ἤγαγον αὐτὸν ἕλκοντες ἐπὶ τὸν τόπον, θεωρήσας τὸ χαλεπὸν ἐκεῖνο μάγγανον, οὕτω κατασκευασθὲν τεχνῇ Σατανικῇ ἀτενίσας εἰς αὐτὸ εἶπε· Κύριε Ἰησοῦ Χριστέ, εὐχαριστῶ σοι, ὅτι ἐκάλεσάς με εἰς τοῦτον τὸν κλῆρον. Αὐτὸς οὖν ἐν μέσῳ δύο λῃστῶν σταυρωθείς, καὶ θάνατον γευσάμενος, ἀθάνατος ὑπάρχων, ἵνα ῥύσῃ ἐκ τοῦ θανάτου τὸν ἄνθρωπον, δος μοι ἀκλινῆ ὁμολογίαν τῆς εἰς σὲ πίστεως ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ φύλαξον τὴν ψυχήν μου ἀπὸ τῆς τοῦ διαβόλου μηχανῆς. Καὶ ταῦτα εἰπὼν ἐνεβλήθη ἐν τῷ μαγγάνῳ, καὶ δεινῶς πιεσθεὶς κατετμήθη τὸ σῶμα εἰς πολλά, καὶ ἦρεν εἰς ὕψος τὴν φωνὴν αὐτοῦ ὁ Διοκλητιανός, καὶ Μαγνέντιος ὁ φίλος τοῦ

Βασιλέως, εἶπεν· Ἑωράκατε πάντες οἱ παρόντες, ὅτι οὐκ ἔστιν ἄλλος Θεὸς, εἰμὴ Ἀπόλλων, καὶ Ποσειδῶν, Ἡρακλῆς τε καὶ Ζεὺς καὶ ἡ μεγάλη Ἄρτεμις. Ποῦ νῦν ἔστιν ὁ Θεὸς Γεωργίου, διατί οὐκ ἦλθε ῥύσασθαι αὐτὸν ἐκ τῶν χειρῶν ἡμῶν; Κελεύσας οὖν αὐτὸν οὕτος ἐν τῷ βασανιστηρίῳ τροχῷ μεῖναι, ἀνεχώρησεν εἰς τὸ ἀριστῆσαι.

Περὶ δὲ ὥραν δεκάτην ἐγένετο ἦχος μέγας, καὶ φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα· ἀνδρίζου Γεώργιε καὶ ἀδίστακτος ἔσο. Πολλοὶ γὰρ πιστεύσουσι διὰ σοῦ εἰς ἐμέ· οἱ δὲ παραφυλάττοντες δήμιοι φόβῳ καταπλαγέντες ἐκ τοῦ γενομένου ἤχου ἔφυγον, Ἄγγελος δὲ Κυρίου ἐλθὼν, ἐξέλυσεν αὐτὸν ἐκ τοῦ βασανιστηρίου ἐκείνου ὀργάνου, καὶ ὑγιῆ ἀποκαταστήσας τὸ σῶμα αὐτοῦ, ἠσπάσατο αὐτὸν λέγων· Χαῖρε σφόδρα Γεώργιε, καὶ πίστευε τῷ ἐνδυναμοῦντι σε, καὶ τὸν δρόμον σου τέλεσον. Ἰδοὺ γὰρ ἡμεῖς ἀναμένομεν δοθῆναί σοι τὸν στέφανον τῆς τελείας ὁμολογίας. Ἀνέστη δὲ ὁ Γεώργιος χαίρων καὶ εὐχαριστῶν τῷ ἰδίῳ δεσπότῃ περιπατῶν καὶ ψάλλων· «ὑψώσω σε ὁ Θεός μου ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. Κατεύθυνον τὰ διαβήματά μου Κύριε, καὶ μὴ



κατακυριευσάτω μου πᾶσα ἀνομία». Καὶ ἐλθὼν ἐπί τινα τόπον, ἔνθα τοῦ Ἀπόλλωνος ἕστηκεν ἄγαλμα. Εὗρεν ἐκεῖ τόν τε βασιλέα καὶ τὸν Μαγνέντιον καὶ πάντας τοὺς φίλους τοῦ βασιλέως θύοντας, καὶ βακχίας ἐπιτελοῦντας τοῖς εἰδώλοις, καὶ προσεγγίσας ἔκραξε λέγων· Ἐπίγνωθί με βασιλεῦ, καὶ τὸν παρ' ἐμοῦ σοι εὐαγγελιζόμενον Θεὸν, ὅς με ἐξείλετο ἐκ τῶν χειρῶν σου καὶ τοῦ θανατικοῦ ὀργάνου, ὃ κατασκευάσας εἰς ἀπώλειαν ἐμήν· ὡς ἐνόμισας. Πλανᾶσθε γὰρ εἰδώλοις θυσίας ποιοῦντες. Ὁ δὲ βασιλεὺς πρὸς αὐτὸν εἶπε· σὺ τίς εἶ; καὶ εἶπεν, ἐγώ εἰμι Γεώργιος, ὁ τῇ κελεύσει σου ἐμβληθεὶς εἰς τὸν τροχὸν, ὃν καὶ κατέλιπες εἰς πολλὰ κατακοπεντα, νομίσας με τεθνηκέναι, καὶ ἦλθον δεῖξαί σοι, ὅτι δυνατός ἐστιν ὁ Θεὸς ἡμῶν σῶσαι ἐκ θανάτου τοὺς ἐλπίζοντας ἐπ' αὐτόν. Τότε ὁ Βασιλεὺς κελεύσας αὐτὸν συσχεθῆναι, κατενόει αὐτὸν λέγων, ὅτι τάχα τὸ εἴδωλον αὐτοῦ ἐστιν ὡς βιοθανάτου, ἢ χλευάζει ἡμᾶς. Ὁ δὲ Μαγνέντιος ἔλεγεν ὅτι ὅμοιος αὐτῷ ἐστίν· ὁ δὲ Ἅγιὸς Γεώργιος ἔλεγεν· ἐγώ εἰμι Γεώργιος ὁ τοῦ Χριστοῦ δοῦλος. Μὴ πλανᾶσθε ἐν τοῖς εἰδώλοις, ἀλλὰ γνῶτε ὅτι δυνατός ἐστιν ὁ Χριστὸς καὶ ἐκ

ΑΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

νεκρῶν ἐγεῖραι τοὺς ἐλπίζοντας ἐπ' αὐτόν, καὶ ἐκ τῶν χειρῶν ὑμῶν ῥύεσθαι. Ἰδόντες δὲ αὐτὸν καὶ ἀκούσαντες ταῦτα Ἀνατόλιος καὶ Πρωτολέων οἱ στρατηλάται, ἐπίστευσαν τῷ Θεῷ μετὰ πάσης τῆς οἰκίας αὐτῶν· καὶ ἀνέκραξαν λέγοντες· Εἷς ὁ Θεὸς ὁ ἐν τοῖς χριστιανοῖς, αὐτὸς Θεὸς μόνος. Ἀκούσας δὲ ὁ Βασιλεὺς ταῦτα, ἐκέλευσε πάντας αὐτοὺς ἔξω τῆς πόλεως ἐν ἐρήμοις τόποις κατακοπῆναι. Πορευόμενοι δὲ ἐπὶ τὴν τελείωσιν συμφώνως ἔκραζον· Κύριε Ἰησοῦ Χριστέ, πρόσδεξαι τὰς ψυχὰς ἡμῶν ἐν εἰρήνῃ, καὶ ποίησον ὑπὸ τὴν σὴν ἀδιάδοχον βασιλείαν, λογισάμενος ἡμῖν τὴν βραχυτάτην ὁμολογίαν ἡμῶν τῆς εἰς σὲ πίστεως εἰς δικαιοσύνην καὶ ἀπολύτρωσιν τῶν ἁμαρτημάτων ἡμῶν· καὶ οὕτως ἐπληρώθη ἡ μαρτυρία αὐτῶν. Ἀκούσασα δὲ καὶ ἡ Βασίλισσα Ἀλεξάνδρα ἅπαντα τὰ κατὰ τὸν Ἅγιον Μάρτυρα Γεώργιον, ἐπίστευσε καὶ αὐτὴ τῷ Κυρίῳ καὶ παραγενομένη πρὸς τὸν Βασιλέα μετὰ παρρησίας ἔκραξε λέγουσα· Ἐγὼ χριστιανή εἰμι· ἐγὼ τοῦ Θεοῦ Γεωργίου εἰμὶ δούλη, καὶ ταῦτα λεγούσης τῆς Βασιλίσσης, ὁ Μαγνέντιος λέγει· εἰπὲ ἡμῖν Βασίλισσα Ἀλεξάνδρα, διατί τὸν Χριστὸν εὐφημοῦσα, τοὺς Θεοὺς παρελογίσω; ἡ δὲ εἶπε,



τοῦ κρείττονος ὀρεγομένη τὸ ἔλαττον παρελογισάμην· καὶ ταῦτα εἰποῦσα ἀνεχώρησεν, ἔχουσα τὸν τοῦ Θεοῦ φόβον ἐν τῇ καρδίᾳ καὶ τὴν πίστιν ἀσάλευτον. Ὁ δὲ Βασιλεὺς θυμωθεὶς ἐκέλευσε τὸν Ἅγιον βληθῆναι εἰς λάκκον ἀσβέστου προσφάτως κατασβενυμένης, ἐπὶ ἡμέρας τρεῖς προστάξας καὶ φύλακας φυλάττειν, μή τίς φησιν ἐπιβουλὴ γένηται.

Μετὰ δὲ τὰς τρεῖς ἡμέρας εἶπεν ὁ Βασιλεύς· ξύσουσι τὰ ὀστᾶ τοῦ βιοθανάτου ἐκείνου, καὶ ἀσφαλῶς κατακρυψάτωσαν, ἵνα μὴ εὑρεθῇ τι ἐξ αὐτῶν. Ἐρχομένων οὖν τῶν στρατιωτῶν ἐπὶ τὸν λάκκον τῆς ἀσβέστου, συνῆλθε καὶ πλῆθος πολὺ ἐπὶ τῆς θέας· καὶ τῆς ἀσβέστου ἐπαρθείσης εὑρέθη ὁ Ἅγιος Μάρτυς μηδόλως ἔχων βλάβην ἐν τῷ θνητῷ σώματι αὐτοῦ συνήει αὐτῷ ὁ τὴν τοῦ Χριστοῦ φροντίδα ποιούμενος. Ὡς εἶδον αὐτὸν πάντες, ἀνέκραξαν· Μέγας ὁ Θεὸς τῶν χριστιανῶν. Ἀκούσασα δὲ ἡ Βασίλισσα ταῦτα, ἦλθε καὶ αὐτὴ ἐπὶ τὸν τόπον κράζουσα· Εἷς ὁ Θεὸς ὁ ἐν τοῖς χριστιανοῖς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ, ὃς ἐκ πάσης θλίψεως ῥύεται τοὺς δούλους αὐτοῦ. Ἐπίστευσαν δὲ καὶ οἱ ἀποσταλέντες στρατιῶται ἐξαγαγεῖν αὐτὸν ἐκ τῆς ἀσβέστου. Ἀ-

κούσας δὲ ταῦτα ὁ Βασιλεὺς ἐκέλευσε στρατὸν ἀπελθόντα συλλαβεῖν τὸν Ἅγιον, καὶ πρὸς αὐτὸν ἀχθῆναι, καὶ καθήσας ἐπὶ τοῦ βήματος σὺν τῇ συγκλήτῳ αὐτοῦ, εἶπε πρὸς αὐτόν· Εἰπὲ ἡμῖν τίς ὁ ζωοποιήσας σε; λέγει αὐτῷ ὁ Μάρτυς· ἐὰν ἀκούσητέ μου πάλιν, οὐ πιστεύσητε· πλὴν γίνωσκε Βασιλεῦ, ὅτι Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ διαφυλάττει με ἀπὸ πάσης βασάνου, καὶ πάντας τοὺς ἐπικαλουμένους αὐτὸν ῥύεται ἐκ τῶν τοῦ διαβόλου παγίδων. Τότε ὁ Βασιλεὺς κελεύει γενέσθαι ὑποδήματα σιδηρὰ ἔχοντα ἥλους ὀρθούς, καὶ πυρωθέντα ὑποδεθῆναι τὸν Ἅγιον καὶ ἐλαύνεσθαι. Ὁ δὲ Ἅγιος Μάρτυς μὴ δυνάμενος βαδίσαι ἐλαυνόμενος ἔλεγεν αὐτῷ· τρέχε Γεώργιε ἐπὶ τὸν κατειληφότα σε κλῆρον, καὶ μετὰ δακρύων προσηύχετο λέγων· Κύριε ὁ Θεός μου ὁ Σωτὴρ τῶν θλιβομένων, ἡ καταφυγὴ τῶν διωκομένων, ἡ ὑπομονὴ τῶν διὰ τὸ ὄνομά σου πασχόντων, μὴ ἐγκαταλείπῃς με, ἀλλὰ παράσχου μοι τὴν ὑπομονὴν μέχρι τέλους, ἵνα μὴ εἴπῃ ὁ ἐχθρὸς ἴσχυσα πρὸς αὐτόν. Ἅμα δὲ ἐπλήρωσε τὴν εὐχήν, ἦλθεν αὐτῷ φωνὴ ἐξ οὐρανοῦ λέγουσα· θάρσει Γεώργιε· μετὰ σοῦ γάρ εἰμι ἐγώ· εὐθέως δὲ ἰάθη αὐτοῦ τὸ σῶμα, τότε πάλιν ἐπίστευσάν τινες



ἐξ αὐτῶν. Βληθέντος δὲ αὐτοῦ ἐν τῇ φυλακῇ, τὴν ἑξῆς πάλιν ἔστη ἐπὶ τοῦ βήματος, καὶ ὁ Βασιλεὺς φησὶ πρὸς αὐτόν· μέχρι τίνος θρασυνόμενος ταῖς βασάνοις ἐγκαρτερεῖς μαγείαις μᾶλλον κεχρημένος; πείσθητί μοι καὶ θῦσον λοιπὸν τοῖς θεοῖς. Ὁ δὲ Ἅγιος εἶπε πρὸς τὸν Βασιλέα καὶ τοὺς συμπαρόντας αὐτῷ· Ἐγὼ δεχόμενος τὰς ἀντιλήψεις τοῦ Θεοῦ μου, πάσας ὑμῶν τὰς βασάνους καταφρονῶν, ἔστηκα ἐνώπιον ὑμῶν ὑγιής, μαρτυρῶν τῇ δυνάμει τοῦ μόνου Θεοῦ, καὶ ἕτοιμός εἰμι πάλιν πρὸς πᾶσαν ὑμῶν βάσανον διὰ τὴν εἰς τὸν Χριστὸν ἐλπίδα. Ὑμεῖς δὲ ποίαν ἔχετε ἐλπίδα τοῖς ἀψύχοις, καὶ μηδὲν οὖσιν εἰδώλοις; εἰς μάτην θρησκεύοντες καὶ τῆς ἀπωλείας αὐτῶν κοινωνοὶ καθιστάμενοι. Αἰσχύνθητε λοιπὸν θεοὺς ὀνομάζοντες τοὺς ἐν ἀσελγείαις καὶ μέθαις καὶ πολέμοις καὶ φόνοις, καὶ πρὸς ὀλίγον ζήσαντας ἐν τῷ κόσμῳ τούτῳ, καὶ νῦν κολαζομένους ἐν τῷ ἀσβέστῳ πυρί, ὅπερ μένει εἰς πάντας τοὺς σεβομένους αὐτούς. Ἀκούσαντες δὲ ταῦτα ὅ τε Βασιλεὺς καὶ ἡ σύγκλητος κελεύουσι βουνεύροις ἀφειδῶς τὰς σάρκας αὐτοῦ καταξένεσθαι· ἐπὶ πολὺ δὲ γενομένου τούτου, εἶπε πρὸς αὐτὸν ὁ Βασιλεὺς καὶ ὁ Μαγνέντιος· μέχρι τίνος ἄθεε οὐ

ΑΝΑΓΝΩΣΤΗΡΙΟ ΚΑΙ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

πείθῃ ἡμῖν καὶ οὐ θύεις τοῖς μεγίστοις θεοῖς, ἵνα τιμῶν μεγάλων ἀξιωθῇς; Ὁ δὲ Ἅγιος εἶπεν ἐγὼ τῷ ζῶντι Θεῷ καθ' ἑκάστην θυσίαν αἰνέσεις προσφέρω, ὅς με ῥύσεται ἐκ τῶν χειρῶν ὑμῶν, καὶ τῇ ἐπουρανίῳ δοξάσει τιμῇ. Εἴθε οὖν ὑμεῖς μᾶλλον ἐπείσθητε, καὶ σὺν ἐμοὶ τὸν μόνον ἀληθινὸν Θεὸν προσκυνεῖτε. Τότε ὁ Μαγνέντιος αἰτήσας τὸν Βασιλέα λυθῆναι αὐτὸν, καὶ σταθέντος αὐτοῦ, λέγει ὁ Μαγνέντιος· εἰ θέλεις ἵνα πιστεύσωμεν τῷ θεῷ σου, δεῖξον ἡμῖν τι σημεῖον παρ' αὐτοῦ, καὶ ποίησον ἕνα τῶν κειμένων νεκρῶν ἐν τῇ κατέναντι ἡμῶν σορῷ ἀναστῆναι. Ὁ δὲ Γεώργιος εἶπεν ὅτι δυνατός ἐστιν ὁ Θεός, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ πάντα, καὶ τὸν νεκρὸν ἀναστῆσαι, διὰ δὲ τὸ παρὸν πλῆθος εἰ καὶ ὑμεῖς κεκρατημένοι ὄντες ὑπὸ τῆς πλάνης τοῦ διαβόλου, μήτε τούτου γενομένου, πιστεύσητε εἰς τὸν ζῶντα Θεὸν, θαρρῶν εἰς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Ἐπ' ὄψε μετὰ πάντων ὑμῶν ἐπικαλοῦμαι τὸν τοῦτο παρασχεῖν τὸ σημεῖον δυνάμενον, καὶ κλίνας τὰ γόνατα ἐπὶ πολὺ προσηύξατο· ἀναστὰς δὲ καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν εἶπεν· Ὁ Θεὸς ὁ αἰώνιος ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι διὰ τῶν ἁγίων Ἀποστόλων



τοῦ μονογενοῦς Υἱοῦ σου παντοῖα σημεῖα καὶ τέρατα κατεργασάμενος πρὸς ἐπιστροφὴν τῶν ἐθνῶν καὶ ἐπίγνωσίν σου· αὐτὸς καὶ νῦν ἐπάκουσον τῆς προσευχῆς μου τοῦ ταπεινοῦ δούλου σου, καὶ ἀνάστησον ἕνα τῶν κειμένων νεκρῶν ἐν τῇ σορῷ ταύτῃ, ἣν εἶπεν ὁ Μαγνέντιος εἰς δόξαν καὶ πίστιν τοῦ Ἁγίου ὀνόματός σου, καὶ τοῦ Χριστοῦ σου τοῦ μονογενοῦς υἱοῦ. Καὶ εὐθέως σεισμὸς ἐγένετο μεγας ἐν τῷ τόπῳ· καὶ τῆς σοροῦ τὸ κάλυμμα ἔπεσε χαμαί, καὶ ἐξῆλθεν εἷς τῶν κειμένων ἐκεῖ νεκρῶν· καὶ ἐλθὼν προσέπεσε τῷ Ἁγίῳ Γεωργίῳ, καὶ παρεκάλει λέγων· Δοῦλε τοῦ Ὑψίστου ἀξίωσόν με τῆς ἐν Χριστῷ σφραγῖδος καὶ σωτηρίας. Ὁ δὲ Ἅγιος εἶπεν αὐτῷ· εἰ πιστεύεις εἰς τὸν Χριστὸν τὸν ζωοποιοῦντα τοὺς νεκροὺς, σωθήσῃ· Ὁ δὲ εἶπε· πιστεύω εἰς τὸν Θεὸν τὸν ζῶντα, καὶ τὸν μονογενῆ αὐτοῦ Ἰησοῦν Χριστὸν, τὸν νῦν διὰ τῆς εὐχῆς σου ἐκ τῶν νεκρῶν με ἐγείραντα. Ὁ δὲ βασιλεὺς θάμβους καὶ ἀπιστίας πλησθεὶς ἐπηρώτησεν αὐτὸν λέγων· Πότε ἀπέθανες εἰπὲ ἡμῖν, καὶ τίς ἦσθα τὸ πρίν; ὁ δὲ εἶπε· πρὸ τῆς Χριστοῦ παρουσίας ἀπέθανον, τῆς δὲ τῶν εἰδωλολατρῶν πλάνης ἤμην, διὸ καὶ ἐν βασάνοις ἐν τῷ πυρὶ τῷ



ΑΛΕΞΑΝΔΡΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ...

ἀσβέστῳ τοὺς τοσούτους χρόνους ἐτύγχανον μετὰ τῶν ὁμοφρόνων μου· Πολὺ δὲ πλῆθος τοῦ παρόντος λαοῦ καὶ στρατοῦ ἐπίστευσαν τότε τῷ Θεῷ καὶ ἐδόξαζον τὸν Χριστόν· Ἰδὼν δὲ ὁ Βασιλεὺς τὸ γενόμενον καὶ μᾶλλον πλησθεὶς ἀνοίας καὶ θυμοῦ, ἔλεγεν, ὅτι μάγος ἐστὶν ὁ Γεώργιος καὶ πνεῦμα ἀνήνεγκε πρὸς πλάνην αὐτῶν· ὁ δὲ Ἅγιος Γεώργιος εἶπε πρὸς αὐτὸν, μέχρι τίνος πλανᾶσθε, καὶ βλασφημεῖτε εἰς τὸν ζῶντα Θεόν; γίνωσκε γὰρ Βασιλεῦ, ὅτι οὔτε ἀκοῦσαι ὑπομένουσι τὸ ὄνομα τοῦ Χριστοῦ τὰ δαιμόνια, πῶς οὖν εἶχεν εἰς δαίμονα γενέσθαι, ἅπερ ἑώρακας, καὶ ἀκήκοας. Τότε κελεύει πάλιν ὁ Βασιλεὺς βληθῆναι αὐτὸν ἐν τῇ φυλακῇ. Πάντες δὲ οἱ πιστεύσαντες ἤρχοντο πρὸς αὐτὸν ἐν νυκτὶ διδόντες δώματα τῷ καπικλαρίῳ (θυρωρῷ) καὶ εἰσερχόμενοι κατηχοῦντο ὑπ᾽ αὐτοῦ τὴν εἰς τὸν Θεὸν πίστιν· καὶ ὅσοι εἶχον ἀσθενεῖς διαφόροις νόσοις συνερχομένους, καὶ τυφλοὺς ἔφερον πρὸς αὐτὸν, καὶ προσευχόμενος ἐθεράπευεν αὐτούς. Γλυκερίου δέ τινος καὶ ἀγροίκου ἀροτριοῦντος, ἔπεσεν ὁ εἷς βοῦς καὶ ἀπέθανε· καὶ ἐλθὼν ἐν τῇ φυλακῇ προσέπεσε τῷ Ἁγίῳ λέγων· κύριέ μου εἶχον ἕνα βοῦν χρήσιμον, ζευγνύ-



ων αὐτῷ σὺν τῷ ἐμῷ τὴν γῆν εἰργαζόμην, καὶ ἐτρεφόμην ἐγὼ καὶ ὁ οἶκός μου, νῦν δὲ πεσὼν πρὸς τὸ ἄροτρον ἀπέθανε· δέομαι οὖν σου εὖξαι ὅπως ἀναστῇ· οἶδα γὰρ ὅτι ἀκούει σου ὁ Θεός σου· ὁ δὲ εἶπεν αὐτῷ, ἐὰν πιστεύῃς εἰς τὸν Θεόν μου ἐγερθήσεται ὁ βοῦς σου· καὶ εἶπεν· πιστεύω ὅτι οὐκ ἔστιν ἄλλος Θεὸς πλὴν ὁ τῶν Χριστιανῶν· καὶ λέγει αὐτῷ, ἄπελθε καὶ εὑρήσεις ζῶντα τὸν βοῦν, καὶ πιστεύσας ἀπῆλθε· καὶ εὑρὼν ζῶντα τὸν βοῦν καὶ πιστεύσας, ἦλθε κράζων καὶ λέγων· Μέγας ὁ Θεὸς τῶν χριστιανῶν. Συλλαβόμενοι δὲ αὐτὸν οἱ δήμιοι καὶ οἱ στρατιῶται ἀνήγαγον τῷ Βασιλεῖ διὰ τῶν ἀρχόντων. Ὁ δὲ ταραχθεὶς μηδὲ τὴν προσωνυμίαν αὐτοῦ ἐρωτήσας ἐκέλευσεν αὐτὸν μεληδὸν κατακοπῆναι. Ὁ δὲ τελειούμενος ἐν τῇ ὁμολογίᾳ τοῦ Χριστοῦ, ἐβόησε λέγων· Ὁ Θεὸς ὁ ἀληθινὸς ὁ ποιήσας τὰ πάντα· μή με ἀποδοκιμάσῃς τὸ σκεῦος τὸ ἄχρηστον, διότι ἐπίστευσά σοι τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι. Δειλιῶ δὲ ὅτι ἐκτός εἰμι τοῦ Ἁγίου Βαπτισματός σου. Ἤθελον βαπτισθῆναι, ἀλλ᾽ οὐκ ἔφθασα, θέλοντος δὲ Σοῦ Κύριε, σωθήσομαι.

Διὸ δέομαί Σου Χριστὲ, τὸ αἷμα τῆς

τελειώσεώς μου εἰς βάπτισμά μοι λογισθῆναι· ὅτι ὁ Θεὸς εἶ καρδιογνώστης, καὶ προαιρέσεως ἐξεταστής. Καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα ἐξ ὕψους· δεῦρο Γλυκέριε χαίρων πρός με, τέλειος γὰρ εἶ ἐν ἐμοί· καὶ οὕτως ἐτελειώθη.

Ἀνηνέχθη δὲ τῷ Βασιλεῖ Διοκλητιανῷ, ὅτι πολλοὶ εἰσπορευόμενοι ἐν τῇ φυλακῇ διδάσκονται ὑπὸ τοῦ Ἁγίου Γεωργίου, καὶ πάντας πρὸς ἑαυτὸν ἕλκει, ἰώμενος πολὺ πλῆθος ἀσθενῶν.

Τότε κελεύει ὁ βασιλεὺς προσαχθῆναι αὐτῷ τὸν Γεώργιον. Ὁ δὲ Μαγνέντιος εἶπε τῷ βασιλεῖ τὸ γένος τῶν χριστιανῶν δυσθάνατόν ἐστι καὶ φιλόνεικον· ἀλλὰ μᾶλλον ἠπιότητι τὸν ἄνδρα παρακάλεσον· εἴγε βούλει αὐτὸν θύσαντα τοῖς Θεοῖς περισώσασθαι· Ὁ Ἅγιος Γεώργιος ἐρχόμενος ἐπὶ τὸν βασιλέα ἔψαλλεν· ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε εἰς τὸ βοηθῆσαι μοι σπεῦσον· καὶ ἐνεχθεὶς παρέστη τῷ Βασιλεῖ· τότε ἤρξατο παρακαλεῖν αὐτὸν ὁ Βασιλεὺς καὶ λέγειν· μὰ τὸν δεσπότην Ἥλιαν καὶ τοὺς θεοὺς ἅπαντας ἐὰν μοῦ ἀκούσῃς Γεώργιε, καὶ προσελθὼν θύσῃς τοῖς θεοῖς ἡμῶν, χαρίσομαί σοι χρήματα πολλά· καὶ δεύτερος ἔσῃ ἐν τῷ πα-



λατίῳ μου, καὶ γὰρ φείδομαί σου, καὶ σφόδρα ἀντέχομαι ζῆν σε βουλόμενος μᾶλλον, ἤπερ ἀποθανεῖν κακῶς μὴ πειθόμενόν μοι. Ὁ δὲ Ἅγιος Μάρτυς εἶπε, καλῶς λέγεις ἄρτι, εἰ καὶ πρὸ τούτου μοι εἷς εἰπὼν τὰ ῥήματα ταῦτα· Νῦν δὲ μετὰ τοσαύτας κολάσεις, ποῦ ζητήσω τὴν ὕβριν μου; λέγει αὐτῷ ὁ Βασιλεύς, χάρισαί μοι τῷ πατρί σου τὸ ἔγκλημα, καὶ θῦσον τοῖς θεοῖς, καὶ μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παλατίῳ.

Ὁ δὲ Ἅγιος Γεώργιος εἶπεν· ἐπειδὴ ὅλως ἀπελογήσω μοι Βασιλεύς, καὶ τούτους θεραπεύσω. Ποῦ εἰσὶν οἱ θεοί σου; ἀπέλθωμεν πρὸς αὐτούς. Περιχαρὴς δὲ γενόμενος ὁ Βασιλεύς, ἐκέλευσε πᾶσαν τὴν σύγκλητον καὶ τὸ στρατόπεδον σὺν τῷ δήμῳ συνέρχεσθαι ἐπὶ τὸ Ἱερόν, κηρύξας ὅτι ὁ μύστης τῶν Γαλιλαίων Γεώργιος προσέρχεται θῦσαι τῷ μεγάλῳ Ἀπόλλωνι. Οἱ δὲ Ἕλληνες ἅπαντες εὐωχούμενοι ἔκραζον ὁ Ἀπόλλων ἐνίκησε, βασιλεῦ Διοκλητιανέ, εἰς τοὺς αἰῶνας βασίλευε. Μεγάλοι οἱ θεοὶ τοῦ βασιλέως. Εἰσελθόντων δὲ αὐτῶν εἰς τὸ Ἱερόν, καὶ σιγῆς γενομένης, στὰς ὁ Ἅγιος Γεώργιος καὶ ἐπιβλέψας εἰς τὸ ἄγαλμα τοῦ Ἀπόλλωνος λέγει· σὺ εἶ ὁ θεός, καὶ σὲ χρὴ σέβεσθαι

ΣΠΑΝΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΡ...

τοὺς ἀνθρώπους; τὸ δὲ παραμένον πνεῦμα ἀκάθαρτον τῷ ἀγάλματι ἐβόησε λέγων· οὐκ εἰμὶ ἐγὼ Θεὸς οὐδὲ οἱ μετ' ἐμοῦ· ἀλλ' εἷς ἐστι Θεὸς ἀληθινὸς ὁ ποιήσας τὰ πάντα, καὶ ὁ τούτου υἱὸς ὁ Χριστός, δι' οὗ τὰ πάντα ἐποίησεν· ἡμεῖς δὲ ἄγγελοι αὐτοῦ ὄντες, ἀποστάται γεγόναμεν, καὶ δαίμονες ὀνομαζόμεθα, καὶ πλανῶνται εἰς ἡμᾶς οἱ ἄνθρωποι· Εἶπε δὲ ὁ Ἅγιος Γεώργιος, καὶ εἰ μή ἐστε θεοὶ διατί πλανᾶτε τοὺς ἀνθρώπους; πῶς δὲ καὶ νῦν τολμᾶτε ὑπομονὴν ἐνταῦθα, ἐμοῦ τοῦ δούλου τοῦ Θεοῦ ἑστῶτος ὧδε, ἐφ' ὧν ἐπικέκληται, καὶ ἔστι Χριστὸς ὁ ἀληθινὸς Θεός. Εὐθέως δὲ τάραχος ἐγένετο μέγας, καὶ βοαὶ ὡς ὀδυρομένων τῶν δαιμονίων, καὶ πάντα συνέπεσον τὰ εἴδωλα τοῦ ναοῦ καὶ συνετρίβησαν, τὸ σημεῖον τοῦ Σταυροῦ ποιήσαντος τοῦ Ἁγίου τῇ χειρὶ σὺν τῷ λόγῳ. Ἰδόντες δὲ οἱ Ἱερεῖς τῶν Ἑλλήνων τὸ γεγονὸς προσέδραμον κατὰ τοῦ Ἁγίου Γεωργίου καὶ κρατήσαντες αὐτὸν ἔκραζον· Αἶρε τοῦτον Βασιλεῦ· αἶρε τὸν γόητα τῇ μαγείᾳ πάντας ἐπλάνησε, καὶ τοὺς θεοὺς κατέστρεψε, θυμωθεὶς δὲ ὁ Βασιλεὺς ἐκ τῆς τῶν δαιμόνων ἐνεργείας, καὶ τῆς τῶν μιαρῶν πλείστης βοῆς, λέγει τῷ Γεωργίῳ· κακὴ κεφαλή,



καὶ πάσης πλάνης καὶ γοητείας πεπληρωμένε· οὐχὶ συνέθου μοι θύειν τῷ Ἀπόλλωνι; λέγει αὐτῷ ὁ Μάρτυς· ἀνόητε καὶ ἀναίσχυντε· ἐγὼ τὴν ἐμὴν θυσίαν ἐτέλεσα πρὸς τὸν Χριστόν μου τὸν ἀληθινὸν Θεόν, διὰ τοῦτο πάντες οἱ θεοὶ ὑμῶν ἠφανίσθησαν. Γνῶθι οὖν καὶ νῦν, ὅτι οὔτε ἑαυτούς, οὔτε ἄλλον δύνανται βοηθῆσαι. Εἴδωλα γάρ εἰσιν ἀναίσθητα· καὶ δαιμόνια πλανῶντα τοὺς ἀναισθήτους ἀνθρώπους, ὑπὸ δὲ τῶν τοῦ Χριστοῦ δούλων καταργούμενα. Τότε ἡ Βασίλισσα Ἀλεξάνδρα ἀκούσασα τὰ γενόμενα, ἔδραμεν ἐπὶ τὸν Βασιλέα· καὶ ἐνώπιον αὐτοῦ ἐβόα λέγουσα· Ὁ Θεὸς Γεωργίου τοῦ ἀηττήτου στρατιώτου, ἱλάσθητί μοι τῇ ἁμαρτωλῷ· καὶ μὴ μνησθῇς τῶν ἐν ἀγνοίᾳ πράξεών μου Κύριε, Κύριε, ἀλλὰ μνήσθητι τῆς τελευταίας μου ταύτης μεταβολῆς, καὶ δός μοι μέρος μετὰ τῶν χριστιανῶν καὶ μετὰ τοῦ σοῦ θεράποντος Γεωργίου.

Ἐπίστευσε δὲ πλῆθος πολὺ τῷ Κυρίῳ. Ὀργισθεὶς οὖν τότε ὁ Βασιλεύς, ἔδωκε κατὰ τῆς Ἀλεξάνδρας καὶ τοῦ Ἁγίου Μάρτυρος Γεωργίου τὴν ἀπόφασιν, εἰπὼν τῷ Μάρτυρι· Ἰδοὺ παγκάκιστε Γεώργιε καὶ τὴν Βασίλισσαν πλανήσας, θανάτῳ ὑπέ-

ΠΑΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

βαλες. Ἀπέρχου οὖν καὶ σὺ σὺν αὐτῇ, ἀξίαν τὴν εἰς τοὺς θεοὺς βλασφημίας δίκην ὑπέχοντας, καὶ δίδωσι τὴν αὐτὴν ἀπόφασιν. Γεώργιον τὸν Μύστην τῶν Γαλιλαίων, μὴ προσκυνήσαντα τῷ Ἀπόλλωνι, ἀλλὰ καὶ τὴν βασίλισσαν ὑποφθείραντα σὺν αὐτῷ τοὺς θεοὺς βλασφημῆσαι, διδωμι τὴν ἀπόφασιν ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι κελεύω σὺν Ἀλεξάνδρᾳ τῇ ὑπ' αὐτοῦ πλανηθείσῃ.

Εὐθέως οὖν λαβόντες αὐτὸν οἱ στρατιῶται, ἐξήγαγον ἔξω τῆς πόλεως· πορευομένη δὲ προθύμως ἐπὶ τὸ σπουδαζόμενον αὐτῇ βραβεῖον ἡ Ἀλεξάνδρα σὺν τῷ Μάρτυρι, καὶ εὐχομένη κατὰ διάνοιαν τῷ Κυρίῳ, ὡς ἡ κίνησις τῶν χειλέων αὐτῆς ὑπέφηνε, καὶ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἀτενίσασα, ἐκάθησεν ἔν τινι τόπῳ καὶ ἀπέδωκεν ἐν εἰρήνῃ τὴν ψυχήν. Ὡς δὲ ἤγαγον τὸν Ἅγιον Γεώργιον ἐπὶ τὸν τῆς τελειώσεως τόπον, εἶπε πρὸς τοὺς στρατιώτας· Ἐκδέξασθέ μοι μικρόν, ἀδελφοί, ὅπως προσεύξωμαι· ἐνδόντων δὲ αὐτῶν, ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ τὰς χεῖρας ἁπλώσας καὶ στενάξας μεγάλως εἶπε· Κύριε ὁ Θεός μου, ὁ πρὸ τῶν αἰώνων ὑπάρχων, εἰς ὃν ἐγὼ κατέφυγον ἐκ νέας ἡλικίας μου, ἡ καλὴ καὶ



ἀληθὴς ἐπαγγελία· ὁ ἀνεξάλειπτος θησαυρὸς ὁ καὶ πρὸ τῶν ἡμετέρων αἰτήσεων παρέχων τὰς σὰς δωρεὰς τοῖς ἀγαπῶσί σε. Ἐπάκουσόν μου Κύριε, ὁ δούς μοι τὴν τῆς Μαρτυρίας ὁμολογίαν καὶ μέχρι τέλους ὑπομονήν· αὐτὸς καὶ νῦν πρόσδεξαι τὴν ψυχήν μου· καὶ ῥῦσαι αὐτὴν ἐκ τῶν ἀερίων καὶ πολεμίων πνευμάτων, καὶ μετὰ τῶν εὐαρεστησάντων σοι καταξίωσόν με. Συγχώρησον δὲ τοῖς ἔθνεσιν, ἃ ἔπραξαν εἰς ἐμὲ καὶ εἰς τοὺς δούλους σου τοὺς ἐπικαλουμένους τὸ Ἅγιον ὄνομά σου. Φώτισον δὲ αὐτοὺς τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, ὅτι πάντας θέλεις σωθῆναι. Ἐξαπόστειλον βοήθειαν τοῖς ἐπικαλουμένοις τὸ ὄνομά σου Χριστέ. Δὸς αὐτοῖς τὸν φόβον σου καὶ τὸν πόθον τῆς εἰς τοὺς Ἁγίους ἀγάπης, ἵνα τὴν μνήμην αὐτῶν ποιούμενοι μιμῶνται τὴν πίστιν αὐτῶν· ὅπως ἀξιωθῶσι μετ' αὐτῶν τῆς ἐπουρανίου ζωῆς καὶ Βασιλείας αἰωνίου. Ὅτι σοῦ ἐστὶν ἡ Βασιλεία καὶ ἡ δόξα, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ μετὰ τὴν εὐχὴν κλίνας τὰ γόνατα ἐξέτεινε τὸν ἑαυτοῦ τράχηλον, καὶ κρουσθεὶς τῷ ξίφει ὑπὸ τοῦ στρατιώτου ἐτελειώθη ἐν Κυρίῳ. Ἐμαρτύρησε δὲ ὁ Ἅγιος Γεώργιος τοῦ Χριστοῦ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μάρτυς, μηνὶ Ἀπριλίῳ εἰκάδι τρίτῃ, ἡμέρᾳ Παρασκευῇ, ὥρα Ζ΄. Ἐγὼ δὲ Πασικράτης ὁ δοῦλος τοῦ Ἁγίου Γεωργίου ἀκολουθήσας τῷ ἐμῷ δεσπότῃ ἐπὶ πᾶσι, τὰ ὑπομνήματα βεβαίως συνέταξα. Καὶ μακάριος ὁ πιστεύσας Χριστῷ τῷ ἀληθινῷ Θεῷ καὶ σωτῆρι ἡμῶν. Ὧ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις νῦν τε καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΥΠΟΜΝΗΜΑ
## ΠΕΡΙ
# ΤΩΝ ΤΙΜΙΩΝ ΔΩΡΩΝ ΚΑΙ ΜΑΓΩΝ
## ΕΝ ΤΗ ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ
## ΙΕΡΑ ΜΟΝΗ
### ΤΗ ΕΝ ΤΩ ΑΘΩ ΕΥΡΙΣΚΟΜΕΝΗ.

«Καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν » προσήνεγκαν αὐτῷ δῶρα, Χρυσὸν καὶ Λίβανον καὶ Σμύρναν· ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς».

Ματθαῖος Κεφ. Β΄. §. ιά.

Ὅτε ἔμελλεν ἡ Κυρία Θεοτόκος ἐκδημῆσαι πρὸς τὸν ἑαυτῆς υἱὸν καὶ Θεόν, δι' Ἀγγέλου κομισθεῖσα τὰ εὐαγγέλια παρὰ τοῦ υἱοῦ αὐτῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τότε μετὰ χαρᾶς δεξαμένη τὸν λόγον, καὶ τῷ πόθῳ τῆς πρὸς τὸν υἱὸν αὐτῆς θείας μεταστάσεως προσεύξασθαι ἄρχεται, καὶ φωταγωγεῖ τὴν οἰκίαν εὐχαριστήσασα τῷ Θεῷ· εἶτα συγκαλεῖ τὸν Ἀδελφόθεον Ἰάκωβον, καὶ τοὺς συγγενεῖς καὶ γείτονας, καὶ ἑτοιμάζει τὰ πρὸς ταφὴν ἐπιτήδεια· τοῖς λέγει τὰ λαληθέντα παρὰ τοῦ Ἀγγέλου, καὶ τὴν πρὸς οὐρανοὺς αὐτῆς θείαν Μετάστασιν. Τοῦτο δὲ ἀκούσαντες πάν-

τες, θρήνοις καὶ δάκρυσιν ὠλοφύροντο. Ἡ δὲ Κυρία Θεοτόκος παραμυθητικοῖς ῥήμασι τὸ τῆς λύπης ἀφήρει, διαβεβαιοῦσα ὅτι ἔμελλε περισκέπειν αὐτοῖς καὶ παντὶ τῷ κόσμῳ· εἶτα συγκαλεῖ τὰς δύο θεραπαινίδας αὐτῆς, αἵτινες ἦσαν πισταί, καὶ διηκόνουν τὰς καθημερινὰς ὑπηρεσίας, καὶ τὰ πρὸς τροφὴν ἐκομίζοντο. Παρηγορεῖ αὐτὰς τὸ πολὺ τῆς λύπης καὶ τῶν δακρύων, καὶ λαβοῦσα τοὺς δύο χιτῶνας αὐτῆς, ἐνεχείρισεν εἰς αὐτάς· εἶτα λαβοῦσα εἰς τὰς Ἁγίας αὐτῆς χεῖρας τὸν πάντιμον θησαυρόν, τὰ Τίμια καὶ Ἅγια δῶρα Χρυσὸν καὶ Λίβανον καὶ Σμύρναν, ἅπερ οἱ Βασιλεῖς Μάγοι προσήνεγκαν Χριστῷ τῷ Θεῷ ἡμῶν, καὶ τὰ ὁποῖα ἡ Κυρία Θεοτόκος συνετήρει πάντα, ϗ εὐλογήσασα αὐτὰ ἐνεχείρισεν εἰς αὐτὰς τὰ πάντιμα Τίμια Δῶρα Χρυσὸν καὶ Λίβανον καὶ Σμύρναν εἰς αὐτὰς σὺν τοῖς Ἁγίοις σπαργάνοις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὰ Ἱερὰ ταῦτα σύμβολα τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, τὰ τίμια καὶ σεβάσμια, ἅπερ ἐδόθησαν εἰς αὐτὰς τὰς πιστὰς καὶ ἱερὰς παρθένους Ἰουδαίας μὲν κατὰ τὸ γένος, χριστιανικὰς δὲ κατὰ τὴν πίστιν, καὶ ἐχαρίσθησαν εἰς αὐτὰς παρὰ τῆς Θεοτόκου, ὡς ὁ λόγος ᾄδεται· καὶ κατὰ διαδοχὴν ἐκ



μιᾶς εἰς ἄλλην μυστικῶς παρεπέμφθησαν εὐλαβῶς τιμώμενα.

Οὕτω ταῦτα τὰ Ἱερὰ σύμβολα διετηρήθησαν, παρέχοντα ἰάσεις διαφόρων νοσημάτων τοῖς προστρέχουσι, καὶ ἐφύλαξαν τὴν εὐωδίαν, καὶ παρέχοντα παντοδαπὰ ἰάματα τοῖς εὐλαβῶς αὐτὰ προσκυνοῦσι.

Μαθόντες δὲ ἐν τῇ Κωνσταντινουπόλει τινὲς φιλόθεοι τὴν χάριν, ἣ παρέχουσιν ὑγείαν ψυχῆς τε καὶ σώματος τὰ Ἅγια καὶ τίμια τοῦ Σωτῆρος Χριστοῦ Δῶρα ταῦτα, ἦλθον καὶ εἶπον πρὸς τὸν βασιλέα Ἀρκάδιον, ὅτι εἰς Ἱεροσόλυμα διαφυλάττονται τὰ θεῖα δῶρα τῶν Μάγων σὺν τοῖς Ἁγίοις σπαργάνοις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὰ ὁποῖα ὡς Ἱερὰν παρακαταθήκην ἔδωσεν ἡ Κυρία Θεοτόκος εἰς τὰς ὑπηρετούσας αὐτὴν παρθένους, καὶ εὑρίσκονται σήμερον εἰς χεῖρας παρθένου, ἥτις εἶναι κατὰ διαδοχὴν κληρονόμος τούτων· εἰσὶ δὲ οἱ χιτῶνες τῆς Ὑπεραγίας Θεοτόκου καὶ ἡ Ἁγία Ζώνη, τὰ Ἅγια Δῶρα τῶν Μάγων καὶ τὰ Ἅγια σπάργανα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· οὗτοι παρεκάλουν τὸν Βασιλέα, ἵνα μετὰ σπουδῆς πέμψῃ εἰς Ἱεροσόλυμα καὶ ἀποκομίσῃ εἰς Κωνσταντινούπολιν τῆς δεσποίνης ἡμῶν καὶ Θεοτό-

κου τὰ ἅγια φυλακτήρια, τὴν Ἱερὰν παρακαταθήκην, πρὸς Ἁγιασμὸν τοῦ λαοῦ καὶ ἀρωγὴν τῆς Βασιλευούσης πόλεως. Ὁ δὲ Βασιλεὺς Ἀρκάδιος ἔπεμψεν εἰς Ἱεροσόλυμα ἱεροπρεπεῖς ἄνδρας καὶ βασιλικὸν κάτεργον (πλοῖον) καὶ ἔλαβον ἀπὸ τὴν φιλόθεον παρθένον ἐκείνην τὴν Ἱερὰν παρακαταθήκην τῆς Ὑπεραγίας Θεοτόκου, καὶ μὲ ὕμνους καὶ θυμιάματα ἐξαγαγόντες ἀπὸ τὰ Ἱεροσόλυμα τὰ Ἅγια φυλακτήρια ταῦτα, καὶ ἐν Κωνσταντινουπόλει ἀποκομίσαντες, τῷ βασιλεῖ παρέδωκαν. Ὁ δὲ βασιλεὺς Ἀρκάδιος πεσὼν καὶ προσκυνήσας πίστει καὶ πόθῳ πολλῷ, καὶ δεξάμενος εἰς τὰς χεῖρας αὐτοῦ κατησπάζετο ἀκορέστως, ὁμοίως καὶ οἱ τοῦ βασιλέως ὑπουργοὶ, καὶ σύμπας ὁ λαὸς ἀφάτου χαρᾶς καὶ εὐφροσύνης ἐπληρώθησαν· μετὰ τὸν ἀσπασμὸν καὶ τὴν προσκύνησιν ἅπαντες μετὰ τοῦ ἐκκλησιαστικοῦ πληρώματος καὶ μετὰ δορυφορίας ψαλμῶν, ὕμνων, καὶ ἀπείρων φώτων κατὰ τὴν ἁρμόζουσαν τάξιν εἰς τὰ Βασίλεια ἀνῆλθον, καὶ κατέθεντο τὰ ἅγια ταῦτα τῆς Κυρίας ἡμῶν Θεοτόκου φυλακτήρια, τὴν Ἁγίαν ταύτην παρακαταθήκην, Βασιλικὰ δῶρα βασιλέων Περσῶν, ὡς ὁ λόγος ἐδήλωσε· καὶ εἰς δόξαν τῶν πιστῶν, εἰς φύ-



λαξιν καὶ ἀρωγὴν βασιλέων, καὶ εἰς ἀσφάλειαν ὅλης τῆς βασιλευούσης, διότι δι' αὐτῶν κατὰ καιροὺς καὶ χρόνους διεσώσατο τὴν ἑαυτῆς πολιν ἡ Κυρία Θεοτόκος.

Ἐφυλάχθησαν δὲ σῶα πάντα ταῦτα τὰ Ἱερὰ κειμήλια τῆς ἐκκλησίας, ἕως εἰς τοὺς χρόνους μετὰ Χριστὸν **1203.** Τότε οἱ βασιλεῖς φθάσαντες εἰς ἐσχάτην ἀνέχειαν, ἀπεφάσισαν καὶ ἔδωσαν γνώμη νὰ γένῃ συνάθροισις τῶν Ἱερῶν σκευῶν καὶ Ἱερῶν κειμηλίων, καὶ ἐξ αὐτῶν νὰ πληρωθῶσι τὰ ὑποσχέντα χρήματα εἰς τοὺς πολιορκοῦντας τὴν Κωνσταντινούπολιν σταυροφόρους. Ὁ δὲ λαὸς ἀγανακτήσας ἐφώρμησε, καὶ ἐφόνευσε τοὺς βασιλεῖς, καὶ οἱ Λατῖνοι ἀφ' ἑτέρου πολλὰ ὀργισθέντες ἐκυρίευσαν τὴν Κωνσταντινούπολιν. Οἱ δὲ εὐγενεῖς τῆς πόλεως λαβόντες τὰ Ἱερὰ κειμήλια καὶ πάντας τοὺς Ἱεροὺς θησαυροὺς καὶ τὰ ἱερὰ σκεύη κατέφυγον εἰς τὴν Ἀσίαν, εἰς τὴν Νίκαιαν πόλιν τῆς Βιθυνίας, ὅπου ἐκεῖ ἔστησαν τὸ βασίλειόν των. Ὁ δὲ Πατριάρχης κατέφυγεν εἰς Διδυμότοιχον. Ἀφοῦ δὲ παρῆλθον χρόνοι ἑξήκοντα ἐπὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Παλαιολόγου, ἐκυριεύθη πάλιν ἡ Κωνσταντινούπολις, καὶ ἔλαβε τὸν στολισμόν της. Ὁ δὲ ἐν αὐτῇ Φράγ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

γος βασιλεὺς Βαλδουβῖνος φυγὼν ἔσωσε τὴν ζωήν του, καὶ οὕτως ἐσυνάχθησαν τὰ ἱερὰ καὶ ἅγια κειμήλια καὶ λοιπὰ ἱερὰ σκεύη καὶ ἅγια δωρήματα εἰς τὰ βασίλεια τῆς Κωνσταντινουπόλεως, καὶ ἐφυλάττοντο ὡς παρακαταθήκη σωτήριος ταύτης τῆς Βασιλευούσης πόλεως.

Ἐν τούτοις τοῖς χρόνοις ἀπέρασαν ἀπὸ τὴν Ἀσίαν εἰς τὴν Θράκην τὰ ὀθωμανικὰ στρατεύματα καὶ ἐκυρίευσαν τὴν Ἀδριανούπολιν καὶ πᾶσαν τὴν Θρακικὴν Μακεδονίαν, καὶ ἔφθασαν ἕως εἰς τὰ βασίλεια τῆς Σερβίας, τὴν ὁποίαν καὶ ἐπολιόρκησεν ὁ Σουλτὰν Μουράτης· ὁ δὲ Γεώργιος ὁ βασιλεὺς τῆς Σερβίας εἶχε θυγατέρα ὡραιοτάτην, Μάρω λεγομένην, ταύτην ἐζήτησεν ὁ Σουλτὰν Μουράτης νὰ τὴν λάβῃ νόμιμόν του γυναῖκα, καὶ οὕτω νὰ λύσῃ τὴν πολιορκίαν καὶ τοὺς πολέμους ἀπὸ τὴν Σερβίαν, καὶ νὰ ἦναι πάντοτε μὲ τὸν σύνδεσμον τῆς συγγενικῆς ἀγάπης. Ὁ δὲ βασιλεὺς Γεώργιος στέργει εἰς τὰς ἀπαιτήσεις τοῦ Σουλτάνου καὶ τοῦ δίδει διὰ νόμιμόν του γυναῖκα τὴν θυγατέρα του Μάρω μὲ τὴν συμφωνίαν νὰ ἦναι ἐλευθέρα εἰς τὰ χριστιανικὰ χρέη της· ἐξ αὐτῆς ὁ Σουλτὰν Μουράτης ἐγέννησε τὸν Σουλτὰν Μεχμέ-



τη, ὅστις ἐβασίλευσε μετὰ τὸν θάνατον τοῦ πατρός του ἐν ἔτει **1450**. Οὗτος ἀφοῦ προετοίμασε τὰ ἁρμόδια ἅρματα ἤρχισε καὶ ἐπολιόρκησε στενῶς τὴν Κωνσταντινούπολιν, τὴν ὁποίαν μετὰ πεντήκοντα τέσσαρας ἡμέρας ἐλεεινῶς ἐπόρθησεν ἐν ἔτει **1453** ἀποκατασταθεὶς κύριος καὶ βασιλεὺς τῆς Κωνσταντινουπόλεως ὁ Σουλτὰν Μεχμέτης, ἔδωσε δὲ εἰς τοὺς χριστιανοὺς τὴν ἄδειαν νὰ ἐκτελοῦν ἐλευθέρως καὶ ἀφόβως τὰς ἐκκλησιαστικὰς αὐτῶν τάξεις καὶ συνηθείας, διότι ἐγνώριζε τὰ χριστιανικὰ ἔθιμα ἀπὸ τὴν μητέρα του Μάρω. Ἡ δὲ βασίλισσα Μάρω εὐσεβὴς καὶ αὐτὴ τότε εἰς τὴν βασιλεύουσαν πόλιν, καὶ λαβοῦσα ἀπὸ τὸ βασιλικὸν θησαυροφυλάκιον τὰ πάντιμα καὶ ἅγια τίμια δῶρα τῶν Μάγων, τὴν ἀνεξάντλητον πηγὴν τῶν ἰαμάτων, τὰ ἐφύλαττεν εὐλαβῶς εἰς τὸ ἑαυτῆς βασίλειον τιμώμενα μὲ θυμιάματα καὶ φῶτα ὡς ἔπρεπεν· αὕτη εὐλαβουμένη τὸν Φιλιππουπόλεως μητροπολίτην Διονύσιον, ὡς χρηματίσαντα μαθητὴν τοῦ Ἁγίου Μάρκου Ἐφέσου, ἠθέλησε διὰ νὰ τὸν προβιβάσῃ Πατριάρχην, καὶ προσελθοῦσα εἰς τὸν βασιλέα τὸν παρεκάλεσε νὰ γένῃ ὁ Διονύσιος Πατριάρχης· ὁ δὲ βασιλεὺς εἶπεν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

αὐτῇ, ποίησον μῆτερ μου ὅ,τι θέλεις, καὶ οὕτως ἔγεινε Πατριάρχης ὁ Διονύσιος· πλὴν διαλογιζομένη ἡ κυρία Μάρω τὸ ἀπαραίτητον τοῦ θανάτου, ἐδυσχέραινεν εἰς τὰ βασίλεια. Προσῆλθε λοιπὸν ἐνώπιον τοῦ βασιλέως καὶ τοῦ ἐζήτησε νὰ ἀπεράσῃ τὸ ὑπόλοιπον τῆς ζωῆς της ἔξω τῶν βασιλικῶν Μεγάρων ἐν ἡσυχίᾳ. Ὁ δὲ Σουλτάνος ὡς ἤκουσε τὴν φρόνησίν της ὑπακούσας ἐδωρήσατο αὐτῇ πᾶσαν τὴν ἐπαρχίαν τῆς Ἔζωβας διὰ κατοικίαν της, καὶ νὰ νέμεται τὰ βασιλικὰ εἰσοδήματα πρὸς ζωοτροφίαν της· αὕτη ἡ ἐπαρχία ἐστὶ πλησίον τῶν Σερρῶν καὶ πρὸς τὸν ποταμὸν Στρυμόνα. Ἐμβᾶσα λοιπὸν εἰς τὸ βασιλικὸν κάτεργον (πλοῖον) μεθ' ὅλων τῶν θησαυρῶν ὅπου εἶχε φέρουσα μεθ' ἑαυτῆς καὶ τὰ τίμια καὶ ἅγια δῶρα τῶν μάγων διὰ νὰ ἔλθῃ εἰς τὴν δωρηθεῖσαν ἐπαρχίαν τῆς Ἔζωβας, καὶ πλέουσα ἔφθασε πρὸς τὸ ἀκρωτήριον τοῦ Ἄθωνος εἰς τὸ νεώριον τῆς Ἱερᾶς μονῆς τοῦ ἁγίου Παύλου τοῦ ἐν τῷ Ἄθῳ (ἐγίνωσκε δὲ καλῶς τὸ Ἱερὸν μοναστήριον τοῦτο, διότι ὁ πατὴρ αὐτῆς Γεώργιος ὁ βασιλεὺς τῆς Σερβίας ᾠκοδόμησε τὸν καθολικὸν ναὸν τοῦ μοναστηρίου εἰς ὄνομα τοῦ ἁγίου Γεωργίου, καὶ ὡς κτήτωρ καὶ προ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ



στάτης τῆς Μονῆς τοῦ ἁγίου Παύλου ἐγνωρίζετο)· προσωρμίσθη λοιπὸν τὸ βασιλικὸν πλοῖον πρὸς τὸ νεώριον τῆς Μονῆς τοῦ ἁγίου Παύλου μετὰ τῆς βασιλίσσης κυρίας Μάρω. Μαθόντες τοῦτο οἱ ἱερεῖς καὶ μοναχοὶ πατέρες τῆς μονῆς, πάντες οἱ ἀδελφοὶ καὶ τὸ τοῦ λαοῦ πλῆθος χαρᾶς ἀπείρου πλησθέντες, ἐξῆλθον τῆς μονῆς μετὰ φανῶν καὶ λαμπάδων καὶ θυμιαμάτων μεθ' ὕμνων καὶ ψαλμῶν κατὰ τὴν ἁρμόζουσαν τῆς μονῆς πρὸς ὑπάντησιν τῶν Τιμίων Δώρων τῶν **Μάγων**, ἅπερ προσεκόμιζεν ἡ κυρία **Μάρω** νὰ τὰ ἀναθέσῃ εἰς τὴν Ἱερὰν ταύτην μονὴν τοῦ ἁγίου Παύλου κατὰ τὴν ἐπιθυμίαν της· ἀνήρχοντο δὲ οὕτω πάντες πρὸς τὸ Ἱερὸν μοναστήριον τοῦ ἁγίου Παύλου κατὰ τὴν ἐπιθυμίαν της, καὶ ὅταν ἔφθασαν ἕως εἰς τὴν μονόστηλον ἐλαίαν, ἥτις καὶ σήμερον σώζεται πρὸς πετρώδη τινα ὄχθην, ἀπέναντι καὶ πλησίον τῆς μονῆς, ἠκούσθη φωνὴ ἀόρατος, λέγουσα· **Μάρω** μὴ προβῇς περαιτέρω, ἐκπλαγεῖσα ἐπὶ τῷ ἀκούσματι ἡ βασίλισσα, ἐστάθη ἐκεῖ. Ἀνοίξασα δὲ τοὺς θησαυροὺς ἐπὶ τοῦ τόπου τούτου, ἐθεωρεῖτο ὡς ἄλλη πανήγυρις καὶ ἑορτή· καὶ φωνὴ ἀγαλλιάσεως μετ' εὐφημίας ἀναφθεγγομένη ἡ βασίλισσα κατα-

σπαζομένη ἔλεγε· ὦ Δῶρα Τίμια, ἅπερ ταῦτα προσήνεγκαν οἱ Μάγοι Περσῶν βασιλεῖς, Χρυσὸν καὶ Λίβανον καὶ Σμύρναν Χριστῷ τῷ Θεῷ καὶ Σωτῆρι ἡμῶν, τῶν πιστῶν ἅπαν τὸ πλήρωμα σκεπάσατε, καὶ ἐκ πάσης ἐπιρροίας ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν ἀβλαβεῖς διαφυλάξατε καὶ εἰς ἰατρείαν παντοδαπῶν νόσων καὶ πονηρῶν πνευμάτων διωκτήριον ἔσεσθε.

Προσκυνήσασα δὲ εὐλαβῶς, ἀφιέρωσε τὰ πάντιμα καὶ ἅγια Δῶρα τῶν Μάγων, Χρυσὸν καὶ Λίβανον καὶ Σμύρναν, ὡς μίαν ἀναφαίρετον παρακαταθήκην εἰς τὴν ἱερὰν μονὴν τοῦ ἁγίου Παύλου τοῦ ἐν τῷ Ἄθῳ· καὶ οὕτως ἀποχαιρετήσασα μετὰ θερμῶν δακρύων, κατέρχεται διὰ νὰ ἔμβῃ εἰς τὸ βασιλικὸν κάτεργον, συνακολουθουμένη μετὰ τῶν εὐχῶν καὶ εὐλογιῶν τῶν πατέρων. Οἱ δὲ σεβαστοὶ ἐκεῖνοι πατέρες ἐνέπηξαν Τίμιον Σταυρὸν, ὅπου ἠκούσθη ἡ ἀόρατος φωνὴ, ὅστις σώζεται καὶ μέχρι σήμερον, καὶ λέγεται ὁ σταυρὸς τῆς Βασιλίσσης· ἐχαρίσατο δὲ καὶ ἄλλα σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ χρυσοῦφαντα δωρήματα εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ... ΓΙΩΡΓΗΣ ΠΑΠΑ...



ΒΙΒΛΙΟΘΗ
ΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤ

Τιμᾶται 1. Δραχμῆς.